# Προσευχή για σωματική και ψυχική υγεία

Εις το όνομα του Πατρός και του Υιού και του Αγίου Πνεύματος. Αμήν.

Δόξα σοί ο Θεός ημών, δόξα σοί.

Βασιλεύ ουράνιε, παράκλητε, το Πνεύμα της αληθείας, ο πανταχού παρών και τα πάντα πληρών, ο θησαυρός των αγαθών και ζωής χορηγός, ελθέ και σκήνωσον εν ημίν, και καθάρισον ημάς από πάσης κηλίδος, και σώσον, Αγαθέ, τας ψυχάς ημών.

Άγιος ο Θεός, Άγιος Ισχυρός, Άγιος Αθάνατος ελέησον ημάς. (τρεις φορές)

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι. Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Παναγία Τριάς, ελέησον ημάς. Κύριε ιλάσθητι ταις αμαρτίαις ημών. Δέσποτα, συγχώρισον τας ανομίας ημίν. Άγιε, επισκεψε και ίασαι τας ασθενείας ημών, ένεκεν του ονόματός σου.

Κύριε ελέησον, Κύριε ελέησον, Κύριε ελέησον.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι. Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Πάτερ ημών, ο εν τοις ουρανοίς, αγιασθήτω το όνομά Σου, ελθέτω η βασιλεία Σου, γεννηθήτω το θέλημά Σου ως εν ουρανό και επί της γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον, και άφες ημίν τα οφειλήματα ημών, ως και ημείς αφίεμεν τοις οφειλέταις ημών, και μη εισενέγκης ημάς εις πειρασμόν αλλά ρύσαι ημάς από του πονηρού.

Θεοτόκε Παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετά Σου. Εὐλογημένη Σύ ἐν γυναιξί, καί εὐλογημένος ὁ καρπός τῆς κοιλίας Σου, ὅτι Σωτήρα ἔτεκες, τῶν ψυχῶν ἡμῶν.

Βαπτιστά τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, ἵνα ρυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν, σοί γάρ ἐδόθη χάρις, πρεσβεύειν ὑπέρ ἡμῶν.

Βίον ἔνθεον, καλῶς ἀνύσας, σκεῦος τίμιόν του Παρακλήτου, ἀνεδείχθης θεοφόρε Ἀρσένιε, καί τῶν θαυμάτων τήν χάριν δεξάμενος, πάσι παρέχεις ταχείαν βοήθειαν, πάτερ Ὅσιε, Χριστόν τόν Θεόν ἱκέτευε, δωρήσασθαι, ἡμίν τό μέγα ἔλεος.

Δεῦτε προσκυνήσομεν καί προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε προσκυνήσομεν καί προσπέσωμεν Χριστό τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε προσκυνήσομεν καί προσπέσωμεν Αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καί Θεῷ ἡμῶν.

***(Ψαλμός 6)***
**Προσευχή για υγεία**

Κύριε, μη τω θυμώ σου ελέγξης με, μηδέ τη οργή σου παιδεύσης με. ελέησόν με, Κύριε, ότι ασθενής ειμι· ίασαί με, Κύριε, ότι εταράχθη τα οστά μου, και η ψυχή μου εταράχθη σφόδρα· και συ, Κύριε, έως πότε; επίστρεψον, Κύριε, ρύσαι την ψυχήν μου, σώσόν με ένεκεν τού ελέους σου. ότι ουκ έστιν εν τω θανάτω ο μνημονεύων σου· εν δε τώ Άδη τις εξομολογήσεταί σοι; εκοπίασα εν τω στεναγμώ μου, λούσω καθ᾽ εκάστην νύκτα την κλίνην μου, εν δάκρυσί μου την στρωμνήν μου βρέξω. εταράχθη από θυμού ο οφθαλμός μου, επαλαιώθην εν πάσι τοις εχθροίς μου. απόστητε απ᾽ εμού πάντες οι εργαζόμενοι την ανομίαν, ότι εισήκουσε Κύριος της φωνής τού κλαυθμού μου· ήκουσε Κύριος της δεήσεώς μου, Κύριος την προσευχήν μου προσεδέξατο. αισχυνθείησαν και ταραχθείησαν σφόδρα πάντες οι εχθροί μου, αποστραφείησαν και καταισχυνθείησαν σφόδρα δια τάχους.

**Ψαλμός ν΄ (50ος)**

Ελέησον με ο Θεός Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με

ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Σελίδα | 2 Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Ψαλμός ρμβ΄ (142ος)

Κύριε εισάκουσον της προσευχής μου Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Ευαγγέλιο Λουκά, Κεφ. 7/18-23.**

**Καὶ ἀπήγγειλαν ᾿Ιωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ ᾿Ιωάννης ἔπεμψε πρὸς τὸν ᾿Ιησοῦν λέγων· σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον.**

**᾿Ιωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε λέγων· σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν.**

**Καὶ ἀποκριθεὶς ὁ ᾿Ιησοῦς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγγείλατε ᾿Ιωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.**

**Απολυτίκιον Ήχος πλ. α΄.**

Τον συνάναρχον Λόγον. Αγίου Λουκά του Ιατρού

**Ιατρόν και ποιμένα, Λουκά τιμήσωμεν, Συμφερουπόλεως ποίμνης, Αρχιερέα λαμπρόν, τον βαστάσαντα Χριστού τα θεία στίγματα, τας εξορίας, τα δεινά, εγκλεισμούς εν φυλακαίς, τας θλίψεις και τα ονείδη, τον επ΄ εσχάτων φανέντα, εν Ρωσία νέον Άγιον.**

Ἀπολυτίκιον Ἦχος πλ. δ΄.
**Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.**

Ἀπολυτίκιον Ἦχος γ΄.
**Ἀθλοφόρε Ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.**

Ἀπολυτίκιον Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
**Σηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ, ἀναβλύζει γὰρ ἰάσεις παντοδαπὰς τοῖς εὐλαβῶς κραυγάζουσι. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυματώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

Ἀπολυτίκιον Ἦχος δ΄.
**Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

***Τοῦ Κυρίου δεηθῶμεν***

**Ευλογητός ο θεός** ο κάλος ιατρός των ψυχών και των σωμάτων ημών, ο τας νόσους ημών απονως βαστάζων, ου τω μωλωπι αυτου πάντες ιαθημεν, ο τον θανάτου θανατώσας και τους εν τοις μνημασι ζωήν χαρισάμενος, ο τον Λαζαρον εκ νεκρών αναστήσας τετραήμερον και επισκεψαμενος την πενθεραν Σιμωνος των αποστόλων του κορυφαίου Πέτρου και επι λόγω αποστησας αυτής τον πυρετό, ο τους δυσιν χρεωφειλετας το δανειον χαρισαμενος και τω αμαρτωλω γυναικι αφεσιν δωρησαμενος αυτος πολυευσπλαγχνε Κυριε μακροθυμε και πολυελαιε επειδε εφ'ημας και επι τον(την) δουλον σου *(ονομα του αρρωστου)* και
διωξον απ'αυτον την κεφαλαλγιαν, το ζηλος, το βαρος, τον καυσωνα και λυτρωσον αυτον απο φρικασμου, απο ριγος, απο πυρετον, απο ημερας πονηρας και ώρας και απο οφθαλμόν πονηρών ανθρώπων και απο πάσης νόσου και μαλακιας. Πραυνον τον πονον, φυγαδευσον τον πυρετο, διωξον την ασθένεια, ινα και αυτος μνησθειη την προφητειαν Δαυιδ την λεγουσαν

«Ελέησον με ο Θεός κατα το μέγα ελεος σου και κατά το πλήθος των οικτιρμων σου εξαληψον απ'εμου πάσαν αμαρτία, πάσαν αρρώστια και βλασφημία. Συ γαρ ει ο αληθινός ιατρός των ψυχών και των σωμάτων ημών και σοι την δόξαν αναπεμπομεν τω Πατρι και τω Υιω και τω Αγιω Πνευματι, νυν και αει και εις τους αιώνας των αιώνων. Αμήν.

***Τοῦ Κυρίου δεηθῶμεν***

**Δέσποτα παντοκράτορ**, ιατρέ ψυχών και σωμάτων, ο ταπεινων και ανυψων, παιδεύων και πάλιν ιώμενος, τον αδελφόν ημών *(τον δεινα)* τον ασθενούντα επισκέψαι εν τω ελέει σου. Εκτείνον τον βραχίονά σου, τον πλήρη ιάσεως και θεραπείας, και ιάσαι αυτόν, εξανιστων από κλίνης και αρρωστίας επιτίμησον τω πνεύματι της ασθενείας απόστησον απ' αυτού πάσαν πληγή, πάσαν αλγηδόνα, πάσαν μάστιγα, πάντα πυρετόν η ρίγος και ει τι εστιν εν αυτώ πλημμέλημα η ανόμημα, ανες, αφες, συγχώρησον διά την σήν φιλανθρωπίαν. Ναι, Κύριε, φεισαι του πλασματός σου, εν Χριστω Ιησου τω Κυρίω ημων μεθ' ου ευλογητός ει, συν τω παναγίων και αγαθω και ζωοποιω σου Πνεύματι, νυν και αεί και εις τους αιωνας των αιώνων. Αμήν.

***Τοῦ Κυρίου δεηθῶμεν***

**Κύριε ο Θεός ημων** ο τα χρόνια και δεινά πάθη λόγω μόνω θεραπεύσας, οτην πενθεράν Πέτρου πυρέσσουσαν ιασάμενος Αυτός και νυν, Δέσποτα, ιασαι τον δουλόν σου *(τον δεινα)* από της συνεχούσης αυτόν μάστιγος, ο παιδεύων συμπαθως, και ιώμενος αγαθως ο πασαν νόσον και πασαν μαλακίαν αφαιρεισθαι δυνάμενος και ανάστησον αυτόν από κλίνης οδυνηρας, και από στρωμνης κακώσεως, επιθείς επ' αυτόν το φάρμακον του ελέους σου παράσχου δε αυτω τελείαν ιασιν και υγείαν. Ότι σύ ει ο ιατρός των σώματων και των ψυχων ημων, και σοί την δόξαν αναπέμπομεν, σύν τω Πατρί και τω Αγίω Πνεύματι, νυν και αεί και εις τους αιωνας των αιώνων. Αμήν.

*(Στην συνέχεια καλό είναι να χρείουμε τον άρρωστο από το λάδι του καντηλιού ή από Ευχέλαιο.)*

Δί' ευχών των αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός ημών, ελέησον ημάς. Αμήν.